ποσσὶν εὐσκάρθμοις, περὶ δ᾽ ἴαχε δῶμ᾽ ὑμεναίοις
κάρτα λιγυφθόγγοισιν ἀειδομένοις στομάτεσσιν.
Ὧς ῥα πανημέριοι τόφρα κοῦροι παννύχιοί τε
μολπῇ τ᾽ ὀρχηθμῷ τε, ἐδητύϊ ἠδὲ πόσει τε
τέρποντ᾽ ἀμφὶ Γάμοισι Καθηγητοῦ θαλεροῖσι.
τῷ ῥα Γαμήλιά τε ξυνῆς φιλότητος ἕκητι
μέλψε χαριζόμενος Δημήτριος, ὃς μελάνοφρυς
τοὐπίκλην, Πάτρην δὲ Σατισεύς, τοὔργον Ἀκέσωρ.

## ΕἸΔΎΛΛΙΟΝ

## ἘΝ ΕἼΔΕΙ ἘΠΙΣΤΟΛΗ͂Σ.

*ΧΑΡΙΈΣΤΑΤΈ ΜΟΙ ΣΥ̓ΓΓΑΜΒΡΕ ΚΥ̓Ρ ΡΟΥ̓ΣΙΕ.*

Ὑψιμέδοντι ἔειπα θεῷ χάριν οὕνεκα σῶν σε
ἤγαγεν ἠδ᾽ ἀσινῆ τε φίλην ἐς Πατρίδα Γαῖαν.]
ὅς ῥά τοι ἱμερόεντος, ἀτὰρ θαλεροῖο γάμοιο
εὐθύμως ἀπόνασθαι, ἰδέσθαι δ᾽ ἀγλαὰ τέκνα
Ῥούσιε δοίη ἄπρως τῷ ᾽μῷ κεχαρισμένε θυμῷ,
ὅσσα τέ σοι χαρίεντα κατὰ φρένα σὺν δὲ κατ᾽ ἦτορ.
μή μευ ἀπεκλελάθοιο δέ τευ ἀπὸ νόσφιν ἐόντος,
Ῥούσιέ μοι πάντων τῶν ἄλλων φίλτατε παῶν.
σεῖο γὰρ αἰὲν ἐγών τε μνάσομαι ἠδὲ φιλάσω,
καί κεν ἀπ᾽ ἀλλήλοιν πάλαι ἤδη τηλόθεν εἶμεν.
ὅς ῥα τεᾷ πάτρην δ᾽ ἐπ᾽ ἀφίξει θυμὸν ἰανθεὶς,
ὡς κλύον ἀτρεκέως ὡς γήθησ᾽, ἤϋτε δ᾽ ἔνθυς
γράψε τάδ᾽ ἐμμελέως Δημήτριος, ὃς μελάνοφρυς
τοὐπίκλην, Πάτρῃ δὲ Σατισεύς, τέχνῃ Ἀκέσωρ.

ἘΠΙ-